4. V. 3
σ

# DE CALENDARIO NOVO GREGORIANO,

IEREMIAE Archiepiſcopi Conſtantinopoleos, νέας ῥώμης, & Oecumenici Patriarchæ:

IVDICIVM.

*Vnà cum alijs quibuſdam eiuſdem ad Germanos literis, quas attulit modò*

ἰάκωβος ὁ παρκεβύμης μηλσήτας, natione Græcus, ex Inſula Pathmo oriundus.

*Francofurti ad Oderam,*

*Exſcripſit typis Andreas Eichorn.*

*M. D. XC.*

# AD LECTOREM.

Ἐλλείπειν ἐν τῇ πρώτῃ ἐπιστολῇ τρίς φαίνεταί τι. ἐὰν οὖν καὶ ἄλλοθι μή, ὡς θέλεις, ὀρθῶς πάντα ἀναγινώσκειν δυνήσῃς, τὴν τοῦ πρώτου ἀναγράψαντος ἀνορθογραφίαν ἢ ἀμέλειαν, τοιαύτης ἀπορίας καὶ δυσχερείας νόμιζε αἴτιον.

BIBL. ... VRAT.
BIBL. UNIV. WROCŁAW
532281

# ΙΕΡΕΜΙΑΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ

Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἀντιγραφὴ ἀπὸ τοῦ τόμου τοῦ Κωνσταντινουπόλεως κυρίου Ἱερεμίου καὶ τοῦ Ἀλεξανδρείας κυ. Σιλβέστρου.

Ἐπειδὴ καὶ πάλιν ἡ ἐκκλησία τῆς πρεσβυτέρας Ῥώμης, ἅτε καινοτομίαις χαίρουσα τοῖς περὶ αὐτὴν ἀστρονόμοις ἀπερισκέπτως συνήνεσε καὶ μετέθετο, τὰ καλῶς περὶ τοῦ ἱεροῦ πάσχα τῶν χριστιανῶν τελούμενα, τὰ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς α. συνόδου τῶν τ.ι.η θεοφόρων πατέρων ὁρισθέντα, παρά τε τῶν λοιπῶν συνόδων κυρωθέντα, στεργόμενα δὲ παρὰ τῶν ἁπανταχοῦ γῆς χριστιανῶν, καὶ ἑορταζόμενα, ὡς ὥρισται. τούτου δὲ ἕνεκα σκάνδαλον γίνεται. ἔφθασάν τε καὶ ἐνώπιον τῆς ἡμῶν μετριότητος ἄνδρες ἀρμένιοι οἱ ἐρωτῶντες ἡμᾶς καὶ φάσκοντες, ὅτι ἀναγκάζονται δέχεσθαι καὶ οὗτοι τὰ νέα ταῦτα προτεινόμενα ὡς ὑποκείμενοι αὐτῇ. τούτου δὲ χάριν ἠξίωσαν ἡμᾶς εἰπεῖν ἃ τοῖς θείοις πατράσι δοκεῖ. τοίνυν ἡ μετριότης ἡμῶν διασκεψαμένη γνώμῃ καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κ. Σιλβέστρου, ἐν ἁγίῳ πνεύματι διορίζεται, σαφηνίζουσα τὰ δεδογμένα τοῖς ἁγίοις πατράσι περὶ τούτων. πρῶτον μὲν ἐν τοῖς πρακτικοῖς τῆς α. συνόδου τῆς οἰκουμενικῆς ἐστὶν ὑπογραφὴ οὕτως ἔχουσα. λεόντιος καισαρίας καππαδοκίας γαλατίας καὶ ἀρμενίας μικρᾶς καὶ μεγάλης ὑπέγραψα. ὅς δὴ ὡς φαίνεται ἐν τῷ βίῳ τοῦ ἁγίου ἱερομάρτυρος γρηγορίου τῆς μεγάλης ἀρμενίας ἀρχιεπισκόπου, ἐχειροτονήθη ἀρχιερεύς, πεμφθεὶς διὰ πρέσβεων καὶ ἐπιστολῆς τηριδάτου βασιλέως ἀρμενίων μετὰ τὸ χριστιανῶν γενέσθαι τοῦτον ἤδη ὄντα κουσάρον, ἄδελφον δὲ ἀρταβάνου καταγόμενον ἀπὸ ἀρσακίσων τῶν παρ᾽ ἐκγόνων τῶν διαλυσάντων τὴν περσῶν ἀρχὴν καὶ ὑπ᾽ αὐτοὺς ἀδελφοὺς ὄντας τέσσαρας περιοικουμένους αὐτὴν Ἀρμενίους τε ἰνδοὺς καὶ μασσαγέτας διαμεμερισμένους. ὑποστρέψαντος τοίνυν τοῦ μεγάλου τοῦ

τοῦ γρηγορίου, φιλοτίμως τε ἀποδεχθέντος παρὰ τηριδάτου τοῦτο μὲν ὡς γνώμῃ αὐτοῦ τὴν ἀρχιερωσύνην δεξαμένου τοῦτο δὲ, καὶ ὡς γένους τοιούτου, υἱὸς γάρ ἐστιν, ὁ μέγας πατὴρ αὐτοῦ ἀνάκτου ἀδελφοῦ κουσάρου τοῦ πατρὸς τηριδάτου. ἐβαπτίσθησαν ἅπαντες παρ' αὐτοῦ ἐν τῷ ποταμῷ εὐφράτῃ μετὰ καὶ τοῦ βασιλέως αὐτῶν τηριδάτου. ὡς δὲ λέγεται, πάντες οἱ τὴν τοῦ χριστοῦ πίστιν δεξάμενοι, ἀρμένιοι, πέρσαι ἀσσύριοι, οὖννοι, μῆδοι καὶ ἄλλοι ἦσαν ὑπὲρ τὰς τετρακοσίας μυριάδας. φωτίσας ἅπαντας τούτους ἐν σκότει ἀγνωσίας κειμένους, οἷα τις ἄλλος ἥλιος ἀναχωρῆσαι ἐθέλησεν εἰς τὰ ὑψηλὰ τῶν ἀρμενιακῶν ὀρῶν τοῦ ζῆσαι ἐν ἡσυχίᾳ, ἀλβινὸν ἂν ταύτου ἐπαφῆκε καὶ ἐπισκόπους εὐθάλιον, βασὸν, καὶ ἄλλους ὑπὲρ τοὺς δέκα ἐν χώραις ταῖς ἀρμενίων προκρίτους. ἐν πᾶσι δὲ τούτοις καὶ τοῖς λοιποῖς ἔθνεσιν, ὡς φέρεται τετρακοσίους ἐπισκόπους κατέστησεν. ἐπεὶ δὲ ἀναχωρήσαντος τοῦ μεγάλου φωστῆρος τούτου γρηγορίου, ὁ τηριδάτης οὗτος διὰ τὸν χωρισμὸν αὐτοῦ ἐν λύπῃ ἦν, μαθὼν δὲ ὅτι δύο παιδία γνήσια κατὰ σάρκα τοῦ γρηγορίου εἰσίν, ὀρθάνης ὁ ἐν ἀσκήσει ὤν, καὶ ἀριστάνης ἱερεὺς τοῦ θεοῦ, ἔπεμψεν ἄρχοντας αὐτοῦ καὶ πρὸς αὐτὸν ἤγαγεν. εἶτα, ἐδεήθη τοῦ γρηγορίου, καὶ κατῆλθε τῆς ἀναχωρήσεως, καὶ εὗρε τὸν ἀριστάνην ἄξιον ὄντα, καὶ ἀρχιερέα καὶ τοῦτον ὡς ἔδει ἐχειροτόνησε. κατὰ τούτους δὲ τοὺς χρόνους καὶ ὁ ἐν βασιλέσιν ἀοίδιμος ὁ μέγας κωνσταντῖνος τὴν α΄ σύνοδον συνῆξε τῶν τριακοσίων δέκα καὶ η θεοφόρων πατέρων ἐν τῇ νικαίᾳ ὅπου καὶ ὁ τηριδάτης εἰρηνικῶς ἔφθασεν ὡς θερμότατος πρὸς τὴν εὐσέβειαν. ἀποδοχῆς τε ἔτυχεν οὐ μικρᾶς παρὰ τοῦ ἰσαποστόλου αὐτοῦ κωνσταντίνου, ὃς καὶ τὸν ἀρμενίας ἀρχιεπίσκοπον καθολικὸν Αριστάνην μετεπέμψατο τῇ συνόδῳ ταύτῃ καὶ παρεγένετο, καὶ μέρος τοῦ ἱεροῦ συλλόγου ἐγένετο. καὶ λαβὼν ἀπόφασιν τῆς συνόδου εἰς ἀρμενίαν ὑπέστρεψεν, ἐπιδιδοὺς τῆς εὐσεβείας τῇ χάριτι τοῦ χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν θεοῦ. ἐκ τούτων λοιπὸν ὧν εἴπωμεν διηγήσεων φαίνεται προφανῶς, ὅτι οἱ ἀρμένιοι ἀρχιεπίσκοπον εἶχον καθολικόν, καὶ κατὰ διαδοχὴν ἔχουσι. καὶ οὕτω τὴν ἀρχιερωσύνην ἀπὸ καππαδοκίας ὡς εἴπωμεν λεοντίου ἔλαβον, ὅρια δὲ ταῦτα τῆς νέας ῥώμης ὡς καὶ εἰσὶ σὺν θεῷ. οὐχὶ δὲ ὅλως τῆς πρεσβυτέρας ῥώμης. ὅστις ὡς οἱ κανόνες ὁρίζονται τῶν συνόδων, ἑσπερίων ἀρχὴν ἔθος. εἰ γε τὰ ἀρχαῖα ἔθει κρατῇ,

κρατῇ, ὥρισαν. εἰ δὲ βιάζῃ, παρεξορίας ἐστὶ καὶ ἔξω τῆς τοῦ χριστοῦ διδαχῆς. αὐτὸς γὰρ εἶπεν. ἀπελθόντες μαθητεύσατε οὐχὶ βιάσατε. καί· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, καὶ ὅσα ἐν ἱεροῖς εὐαγγελίοις σύνοδα τούτων. ἀλλὰ ἔδει δὲ καὶ τοὺς ὑπ' αὐτὸν ἑσπερίους μὴ νέα καὶ πρόσφατα διδάσκειν σκανδάλων πρόξενα ἀλλὰ τὴν χριστοῦ διδαχήν, καὶ τῶν ἁγίων ἀποστόλων, καὶ τῶν ἱερῶν συνόδων, καὶ ὅσα τοῦ θείου πνεύματός εἰσιν. δεύτερον δὲ, ὑφηγούμεθα παντὶ χριστιανῷ ὀρθοδοξεῖν βουλομένῳ, ὡς οὐκ ἔστιν ἀσύστατον τὸ παρ' ἡμῖν πασχάλιον. ἀλλ' ὡς ἀκόλουθον τοῖς ὁρισθεῖσι τῶν ἁγίων πατέρων μένει ὀρθόν, καὶ εἰς αἰῶνα σταθηρὸν διαμενεῖ, ἕως οὗ φυλάττει τὴν τάξιν ἣν ἔλαχεν, ἀπαρασάλευτον, ἀρίστως ἐσκεμμένην τοῖς θείοις πατράσιν, ὧν οὐδεὶς τῶν νῦν, οὔτε τὴν ἐπιστήμην, οὔτε τῆς ἀστρονομίας κατ' ἐκείνους τοὺς ἀρίστους, οὔτε τὸν ἁγιασμὸν ἔχει πλὴν εἰ μή που δοκήσει ἔστιν ἀληθείας μακράν. τεσσάρων γὰρ ὄντων τῶν τοῦ πάσχα διορισμῶν, ὁ πρῶτος ἐντέλλεται, ὅτι δεῖ μετὰ ἰσημερινὴν ἐαρινὴν τὸ πάσχα τελεῖν. ὁ δεύτερος, ὅτι μετὰ τὴν αὐτὴν ἡμέραν τῆς ἰουδαϊκῆς τελετῆς. ὁ τρίτος ὅτι οὐχ ἁπλῶς μετὰ ἰσημερίαν ἀλλὰ τὴν α΄ μετὰ τὴν ἰσημερίαν πανσέληνον. ὁ τέταρτος, ὅτι καὶ μετὰ τὴν πανσέληνον, εὐθὺς τῆς ἑβδομάδος πρώτῃ. ὅθεν οὐδεὶς ὅλως νομισάτω, ὅτι τοὺς παντάριστους ἐκείνους θείους πατέρας διελάθετο δοκεῖν τοῦτο λάθος, ἵνα παρὰ τῶν νῦν ἀστρονόμων τύχῃ βελτίονος διορθώσεως. χάριτι γὰρ χριστοῦ ἀπὸ τῆς α. συνόδου, καὶ ἕως τοῦ νῦν ἀεὶ πάσχα τὸ ἱερὸν μετὰ τὸν νομικὸν γίνεται καὶ ἐν κυριακῇ. καὶ σύγχυσιν τινα οὐκ ἔγνωμεν ἵν' εἰς διόρθωσιν ἀναστῶμεν. καλῶς γὰρ διετυπώθη τοῖς ἁγίοις πατράσι καὶ αἰωνίως διαμένει ἄπταιστον. κακῶς δὲ παρὰ τῶν νῦν ἀστρονόμων τῆς παλαιᾶς ῥώμης ἀφῃρέθησαν αἱ δέκα ἡμέραι παρὰ τοῦ ὀκτωβρίου μηνός. πρὸς τοῖς ἄλλοις δὲ, καὶ σύγχυσιν ἐν ἑαυτῷ περιέχει τὸ νέον αὐτῶν ὡρολόγιον καὶ ἀνατροπὴν ἀναθεωρούμενον. εἰ γὰρ διόλων ρ λ δ΄ ἐνιαυτῶν νυχθημέριον ἓν συνάγουσιν, εὔδηλον, ὅτι ἀπὸ τῆς α. συνόδου χιλίων διακοσίων ἑξήκοντα πέντε ἐτῶν διελθουσῶν ἄχρι τοῦ νῦν ὡς τριακοσίων δέκα καὶ ὀκτὼ παρεληλυθότων τὸ πρῶτον ἀπὸ χριστοῦ ἕως τῆς α συνόδου, ἡμέραι μόνον θ΄ καὶ ὧραι δέκα παρὰ μέσην στιγμὴν συνάγονται καὶ λείπεται. εἰ δὲ καὶ ἑκατὸν εἴκοσι χρόνων



νυχθη,

νυχθημέρων ἐγγενήσεται, ἔσονται ἡμέραι δέκα, καὶ ὧραι δέκα, καὶ πλεονάζει. τὰ τοιαῦτα δὲ ἐπισφαλῆ φαίνονται. ἀλλὰ καὶ κατὰ τοὺς τὴν ἐπιστήμην τὴν ἀστροθεάμονα δεινούς, τὸν μὲν Πτολεμαῖον καὶ ἄλλους ἐσφαλμένα ταῦτα εὑρίσκονται. ἐν τριακοσίοις γὰρ ἔτεσιν ἐκεῖνοι καὶ μικρόν τι πρὸς νυχθήμερον ἐνσυνάγεσθαι ἀποφαίνονται, καὶ τοῦτο οὐκ ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως, ὁμαλὴν γὰρ ποιεῖται τὴν κίνησιν καὶ ἀπαράκλιτον, ἀλλὰ παρὰ τὴν ἀπαρίθμησιν τῶν ἡμερῶν τοῦ ἐνιαυτοῦ. καὶ κατὰ τούτους ἡμέραι ι. καὶ ὧραι πέντε καὶ στιγμαὶ ιβ. ἀπὸ τῆς ἐν Νικαίᾳ καὶ δεῦρο γίνονται. καὶ τούτων οὕτως ἀναμετρουμένων, καὶ τῇ ἑλλήνων σοφίᾳ ἔτι ἀναδείκνυται, ὅτι ἔξω παντὸς λόγου, τὰς δέκα ἡμέρας τοῦ ὀκτωβρίου οἱ ἀστρόνομοι τῆς ῥώμης ἐξέβαλον ἵνα φανῶσι μόνον ὡς δοκεῖ τοῖς ἀνθρώποις ποιεῖν τι δόξης κενῆς ἕνεκα. βέλτιον δὲ ἦν αὐτοὺς μὴ καινοτομεῖν καὶ τὰ αὐτὰ μεταποιεῖν καὶ ταῖς ἐκκλησίαις χριστοῦ στάσεως οὐ μετρίας γενέσθαι προξένους. ἢ κἂν μὴ βίᾳ ἐπάγειν ἕνεκα τούτων ὅπερ τολμῶσιν οὐκ εὔλογον λογίζεται ὡς τοῖς ἀντεχομένοις τὰ καλῶς ὁρισθέντα τοῖς ἱεροῖς καὶ ἁγίοις πατράσιν, οὐ μόνον λελογισμένον ἀλλὰ καὶ θεῖον. καὶ ταῦτα μὲν ἡμεῖς πρὸς ἀμφότερα λέγωμεν σημειωσάμενοι κατὰ τὸ ἀληθές. ἔτος ἀπὸ τοῦ θεανθρώπου α. φ. π. γ. μηνὸς δεκεμβρίου κ Indict. ιβ.

## *CL. V. Martini CRVSII, Professoris in Acad. Tubing. Epistola.*

Τῷ ἁγιωτάτῳ καὶ σεβασμιωτάτῳ κυρίῳ ἱερεμίᾳ οἰκουμενικῷ τῆς κωνσταντίνου πόλεως νέας ῥώμης πατριάρχῃ ἀξιωτάτῳ γενομένῳ κυρίῳ ἑαυτοῦ αἰδεσιμοτάτῳ.

Ἁγιώτατε κύριε, καὶ πρότερόν ἐστιν, ἃ ἔπεμψα πρὸς τὴν ἁγιότητά σου γράμματα διὰ τοῦ θεοφιλεστάτου τῆς φιλαδελφείας κυρίου γαβριὴλ ἐκ τῆς βενετίας, καὶ νῦν πάλι γράφω. τόδε αἴτιον τῆς ἀντιγραφῆς ἐστι τόδε. ἔστι τις ἰησουΐτης σοφός, ἢ μᾶλλον εἰπεῖν, πανοῦργος, ὃς ἐξέδωκε πέρυσι βίβλον, ἐν ᾗ γράφει, ὅτι τὸ νέον Καλενδάριον πρῶτα μὲν οὐκ ἠθέλησε καταδέξασθαι. ἔπειτα δὲ λόγοις ἱκανοῖς ἢ ἀποδείξεσι νικηθεὶς αὐτῷ συγκατέθετο, ὁ τῆς κωνσταντίνου πόλεως πατριάρχης ἱερεμίας. ἐκ γὰρ ἄλλων πλειόνων ταῦτα τὰ ῥήματα αὐτολεξεὶ οὕτως ἔθετο, καὶ καθ᾽ ὅπερ τὴν βίβλον εἶδε παρ᾽ ἐμοί, ὁ ἐπιδοὺς τῇ ἁγιότητί σου τήνδε τὴν ἐπιστολὴν ἰάκωβος ὁ μηλοΐτας. ἐλπίζω γὰρ ὅτι πρὸς ἁγιότητά σου ἐλεύσεται αὐτὸς ὁ ἰάκωβος.

### Ῥήματα Ἰησουΐτου Ἀντωνίου Ποσσεβίνου.

*RVtheni miserunt Byzantium, vbi euocato Alexandrino Patriarcha, Ieremias, qui Constantinopolitanam sedem non ita multo antè obtinebat, Synodicam epistolam scripsit, qua Ruthenis & Græcis interdicebat, ne Gregorianam anni emendationem admitterent. Rationes autem eius interdictionis Ieremias tùm alias de quibus mox dicam, tum eas afferebat, quod sibi nondum Latinorum argumenta & rationes innotuisse diceret. Ad extremum misit ad eos Canonem, quo in obseruando Pascha vti deberent. Quæ quidem omnia cum ipso autographo Chirographoq; eorundem Patriarcharum essent apud me: cui Constantinus Senior Dux Ostrouiæ Illustrissimus, & inter Ruthenos primarius hæc omnia fidenter dedit: suorumq; cum Latinis vnionem atq; concordiam varijs acceptus rationibus, misso item Byzantium homine, dedit operam, vt procuraret. Factum est autem, siue ijs rationibus, seu potius paterna summi Pontificis caritate, ac sedula diligentia: vt idem Patriarcha Constantinopolitanus veritate victus, non solum ei assenserit: verumetiam legationem ad vrbem (*τὴν πρεσβυτέραν ῥώμην*) miserit: qua se idipsum curaturum polliceretur: ingenui animi signum præbens, & Christiano deinde pectore, Patriarchatus, quam veritatis iacturam perpeti malens. Nam paulò post in custodiam coniectus est, calumnijs oppressus à quodam Cesareæ Episcopo, qui, pecunia Turcis data, in eius locum suffectus est. Itaq;*

*sane*

*ſanè absq; ſuſpicione, quod hæretici quidam, qui alio prætextu Constantinopoli degunt, ægerrimè ferentes, à Ieremia primum quidem veſtras hæreſes pluribus cenſuris fuiſſe confeſſas: deinde etiamnum Kalendarium Romanum emendatum recipi, Turcarum Imperatorem eum relegandum accenderint.*

### *In Græcum Latina conuerſa, hic omiſimus.*

Αὐτὸς λέγει, ὅτι πρῶτα μὲν οὐκ ἤθελεν ἡ ἁγιότης σου, ὕστερον δὲ καταδέξατο τὸ καλενδάριον τὸ γρηγοριανὸν, νικηθεῖσα λόγοις, ἢ μᾶλλον ἀγάπῃ καὶ ἐπιμελείᾳ τοῦ ῥωμαίου πάπα, καὶ ὅτι πρεσβείαν διὰ τοῦτο εἰς τὴν παλαιὰν ῥώμην ἀπέστειλας. ταῦτα ὁ Ἰησουΐτης ἐν βίβλῳ τούτου μήκους ἐκδημοσίευσε. καὶ θαυμάζουσι πολλαχοῦ πολλοὶ οὐ πιστεύοντες. διὰ ταῦτα ὦ ἁγιώτατέ μου κύριε, πέμψοις πρὸς ἐμὲ περὶ τούτου ἀπόκρισιν διαρρήδην, ἀπολογούμενος πρὸς τοὺς σοφοὺς τῆς γερμανίας, εἰ ἀναίτιος ὢν τυγχάνεις. δύνασαι δὲ εὐκόλως διὰ τοῦ ἱερωτάτου Ἀρχιεπισκόπου φιλαδελφείας κυρίου Γαβριὴλ ἐκ τῆς Βενετίας ὁ ὑπὲρ τῆς ἐπιτιμίας σου ἐστὶ τόδε ποιεῖν. καὶ σφραγίσαιο τὴν ἀπόκρισιν ἀσφαλῶς, καὶ κελευσάτω ἡ ἁγιότης σου, τί με θέλει πρᾶξαι, εἰ ἀδικοῦσι ψευδόμενοι Ἰησουΐται κατὰ τῆς ἀληθείας μαρτυροίης τῇ ἀληθείᾳ. ἔρρωσον ἁγιώτατε καὶ σεβάσμιε, εἰς πολλὰ ἔτη. ἀπὸ Τυβίγγης Γερμανίας τῇ ιζ Ἰανουαρίου. ἔτει τῷ ͵α φ π η.

Ὁ τῇ ἁγιωσύνῃ σου πάλαι γνώριμος, καὶ ταύτην ὑμῶν τῆς ἑαυτοῦ καθημεριναῖς προσευχαῖς, Μαρτῖνος ὁ Κρούσιος ἐν τῇ Ἀκαδημίᾳ Τυβιγγαίᾳ διδάσκαλος.

## *Reſponſum Patriarchæ de Calendario nouo, ad Poſſeuini Ieſuitæ mendacia.*

Ἱερεμίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας ῥώμης οἰκουμενικὸς πατριάρχης.

Σοφώτατοι καὶ λογιώτατοι ἄνδρες γερμανοὶ ἤδη κατὰ πνεῦμα ἀγαπητοὶ

ἀγαπητοὶ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν ἅπασιν, εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ. εὖ ἴσθι τε ἅπαντες, ὅτι ὄντος μου ἐν μοσχοβίᾳ γράμμα τίμιον ἐδεξάμην τοῦ ἐλογιμωτάτου κρουσίου τυβίγγηθεν ὅπερ μοι τινὲς τῶν φίλων ἐκόμισαν, δι' οὗ ἔγνων, ὅτι τὴν αὐτὴν εὔνοιαν, ἣν περ πρότερον εἶχε πρὸς ἡμᾶς, καὶ νῦν ἔχει. εἰ γὰρ μὴ οὕτως ἐτύγχανεν ὢν, οὐκ ἂν τὴν ψευδεπίπλαστον φήμην τοῦ καλοῦ κἀγαθοῦ Ἰησουΐτου ἣν καθ' ἡμῶν περὶ τοῦ παραλόγως γινομένου νέου Καλανδαρίου ψευδῶς συρράψας ἐν τοῖς αὐτόσε μέρεσιν ἀναιδῶς διεφήμησε, δηλῶσαι ἔσπευσε. καὶ ταῦτα περὶ δευτέρας ἀπολογίας ἢ μᾶλλον εἰπεῖν συγκαταθέσεως τὸ παράπαν εἴδησιν μὴ ἔχοντα ὡς αὐτὸς ὁ τοῦ ψεύδους καταγγελεὺς καταψευσάμενος ἠτήσας ἐμφθέγξατο. τὸ γὰρ σαπρὸν δένδρον ἐκ τοῦ καρποῦ γινώσκεται, κατὰ τὴν κυριακὴν φωνήν. καὶ τοῦτο οὐδὲν θαυμαστὸν (ἐπεὶ καὶ οἱ δαίμονες ὁπόταν κακῶσαί τινας βούλονται, εἰς σχῆμα ἀγγέλου μεταβάλλονται, ἢ δι' ἀνθρώπου ὡς ἐπὶ τοῦ ἀρχισυναγώγου ἐγένετο) εἰ γὰρ καινοτομίας ἀτόπους, καὶ παραβάσεις βλασφήμους καὶ ζιζάνια οὐ τὰ τυχόντα κατὰ τῆς τοῦ χριστοῦ ἐκκλησίας διασπείρειν καθ' ἑκάστην οὐ φρίττουσι (ἀλλὰ καὶ αὐτὴν τὴν ἀλήθειαν παραχαράττειν ξένην καὶ ἀλλοτρίαν φωνὴν τῷ θείῳ πνεύματι προσάπτουσι, καὶ οὔτε ταῖς τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων ἀποφάσεσι πειθαρχοῦσιν οὔτε μὴν τῷ ἀναθέματι, ᾧ καθυποβάλλουσι πρὸς τοὺς τολμῶντας προσθεῖναί τι ἢ ἀφαιρεῖν παρὰ τῷ ἁγίῳ συμβόλῳ τῆς εὐσεβοῦς καὶ ὀρθῆς ἡμῶν πίστεως ἀλλὰ πάντα λίθον ἐκίνησαν, καὶ κοινὴν κατὰ τὴν παροιμίαν στῆσαι τὸ μοχθηρὸν καὶ ἄθεσμον αὐτῶν θέλημα οὐ παύονται) πόσον μᾶλλον γε περὶ ἐμοῦ οἱ δεινοὶ σοφισταὶ, καὶ ἐχθροὶ τῆς ἀληθείας ἀληθεύειν δοκήσονται, (οἶμαι δὲ καὶ τοὺς εἰς λόγους μετ' αὐτῶν συνελθόντας ἐν οἱαδήτινι ὑποθέσει ἢ οἰκειώσεως εἰπεῖν περὶ ὀρθῶν δογμάτων τῆς ἡμῶν πίστεως τοῦτο οὐκ ἀγνοεῖν.) ἄνωθεν γὰρ ἐν αὐτοῖς τὸ συκοφαντεῖν τε καὶ ψεύδεσθαι οἷά τις κλῆρος παρὰ τοῦ πατρὸς αὐτῶν κεχάρισται. ὅπερ οὐ μόνον κατ' ἐμοῦ ἔναγχος χρησάμενοι, ἀλλὰ καὶ πάλαι κατὰ πάντων τῶν τὴν ἀλήθειαν φθεγξαμένων κατέσπειραν. ἡμεῖς δ' οὐκ εἰώθαμεν τὸ τοιοῦτο τρέφειν θηρίον, (ἀλιτῶν γὰρ ἐσμὲν ὀπαδοὶ, ἀλλ' οὐδ' ἐκεῖνα ἅπερ πρότερον ὡς ἀχρεῖα ἐξουθενήσαντες, πάλιν ὡς εὔχρηστα ἀνθεξώμεθα, εἰ γὰρ τοῦτ' αὖ-



θις ἀν-

οις ἀντιποιεῖσθαι ἀλλ' ὤμην, ὡς καὶ ὁ ὑπηρέτης ἐκεῖνος ὁ οὐκ ἰησουΐ-
της ἀλλ' ἀντιχριστίτης δολίως ἀπεφήνατο, οὐ μόνον πρὸς τοὺς ἐντυ-
χόντας τοῦ πρώτου ψόγου οὗ ἐγγράφως κατὰ τοῦ ῥηθέντος καλανδα-
ρίου ἐξεδώκαμεν ἀληθεύειν δόξομεν, ἀλλὰ καὶ τὸ τοῦ σοφοῦ γνω-
μάτευμα χώραν καθ' ἡμῶν ἕξει τὸ φάσκον, ὁ τὸν αὐτὸν ἐπαινῶν, καὶ
ψέγων ἀνὴρ οὐκ ἀγαθός: ὅπερ ἀπεύχομαι. τὸ δ' ἀληθὲς οὕτως ἔχει.
ἐν τῷ αφπβ μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ια: ἄνθρωπός τις παρεγέ-
νετο πρὸς ἡμᾶς παρὰ τοῦ αἰδεσιμωτάτου γρηγορίου παπα φέρων καὶ
μεθ' ἑαυτοῦ γραμμάτιον ἐκείνου, ἐν ᾧ καὶ περὶ τοῦ νέου καλανδαρίου
φιλικῶς ἡμῖν ἔγραψε, θεωρῆσαι αὐτὸ ἐν ἀκριβείᾳ. καὶ εἰ ἀρεστὸν ἡ-
μῖν δόξῃ κυρῶσαι. ἡμεῖς δὲ καλῶς συνδιασκεψάμενοι περὶ τούτων
ᾗ δυνάμεως εἴχομεν συγκρίναντες αὐτὸ οὐ μόνον μετὰ τοῦ ἀληθοῦς
πασχαλίου οὗ οἱ θεοφόροι πατέρες πανσόφως θεσπίσαντες τῇ καθο-
λικῇ ἐκκλησίᾳ ἐξέδωκαν. ἀλλὰ καὶ κατὰ τοὺς τὴν ἐπιστήμην τὴν ἀ-
στροθεάμονα δεινούς, τὸν μέγαν πτολεμαῖον καὶ ἄλλους ἐσφαλμένον
εὕρηται μηδ' ὅλως συνᾴδοντα τὴν τῆς ἐκκλησίας κοινὴν δόξαν.
ἄλλως γὰρ ἐκεῖνοι ἐσκόπουν τὰ πράγματα καὶ ἄλλως αἱ τῶν θεοφό-
ρων πατέρων γνῶμαι. τοίνυν καὶ ἡμῖν δυοῖν ἕνεκα οὐκ ἀρεστὸν ἔδοξ-
εν, ἓν μὲν, ὅτι ὁπόταν ἐκεῖνοι μὲν τὰ περὶ αὐτὸν σοφιστῶν τὰ περὶ
τούτου σκοπεῖν ἤρξαντο, οὐδ' ὅλως συμβούλους ἡμᾶς ἐχρήσαντο. δεύ-
τερον δ' ἡμεῖς τὴν τῶν πατέρων ὀρθὴν πίστιν ἣν περὶ τοῦ πασχαλίου
ἐχρησμοδώθησαν θείᾳ ἐμφάσει, κρείττονα ἡγησάμενοι ὡς ἀληθῆ καὶ
ἄπταιστον καὶ εἰς ἀεὶ ὡσαύτως διαμένουσαν, τὴν τοῦ νέου καλενδα-
ρίου ὡς ψευδῆ καὶ οὐτιδανὴν μακρὰν ἀφ' ἡμῶν ἀπεσκορακίσαμεν.
πλὴν εἰ καὶ φορτικῶς γράφειν δόξομεν τοῖς ἐντευξομένοις ταύτην
κατὰ τὸ ποσὸν ἀλλ' οὖν γε κατὰ τὸ ποιόν, πλέον αἰσχρότερον κατὰ τῶν
συκοφαντούντων ὁ τῆς συκοφαντίας θεσμὸς γράφειν βούλεται. ἡ δὲ
τοῦ θεοῦ χάρις καὶ τὸ ἄπειρον αὐτοῦ ἔλεος εἴη μετὰ πάντων ὑμῶν.
Ἀμήν. ἐν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος τρίτης ἔτει αφπθ.

Τῷ ἐλλογιμωτάτῳ κυρίῳ κρουσίῳ καὶ θεολόγῳ, ἐν τῇ Ακα-
δημίᾳ τυβίγγῃ τῷ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ τῆς
ἡμῶν μετριότητος δοθείη.



# *Christophori Pelargi, Professoris in Academia Francofurtana, ad Patriarcham Constantinopolitanum Ieremiam epistola.*

Τῷ ἁγιωτάτῳ καὶ σεμνοτάτῳ κυρίῳ Ἱερεμίᾳ τῆς Κωνσταντινου-
πόλεως νέας Ῥώμης, πατριάρχῃ πρὸ τοῦ οἰκου-
μενικῷ, νῦν ἐν τῇ νήσῳ Ῥόδῳ.

Τὴν σαυτοῦ θεοφιλεστάτην καὶ φιλανθρωποτάτην, κύριε σεβασ-
μιώτατε, διάνοιαν, πολλοὶ μὲν, μεθ' ἡμῶν ἤδη ὄντες Ἕλλη-
νες, πλεῖστοι δὲ ἐν τῇ γερμανίᾳ ἄνδρες ἐλλόγιμοι εἰκότως ἐγκω-
μιάζουσι. ὅτι οὐ μόνον τῆς εὐσεβείας ἀντέχεσθαι, ἀλλὰ καὶ ἐν δυσ-
κολίαις τῶν πραγμάτων, ἀταπείνωτον διασώζεσθαι τὴν ψυχὴν
διαπαντὸς δύνασαι ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα, ἀνδρείως δὲ κού-
φως καὶ μετρίως πάνυ, κἂν ἀήθης, τὴν νῦν ὑπερορίαν εἰς ἣν ὁ ἐχ-
θρὸς τοῦ χριστοῦ καὶ πάντων αὐτοῦ, τῆς καλοκἀγαθίας σου ἕνεκα, ἐξέ-
πεμψέ σε. Διὰ τοῦτο, κἀγὼ, οὐ μὲν γεγυμνασμένος ἐν λόγοις,
αὐτὰρ τούτων ἔρωτι κατασχεθεὶς, προσομιλεῖν τῇ ἁγιότητί σου, γράμ-
μασιν ἤθελον. οὐ τῆς λύπης ἄκος τι ὑποτιθέμενος (τοῦτο μὲν ἐστιν
εὐσεβεστάτῳ σοι παμπολύ) τῷ δὲ συμβάντι ἐπιστεναζόμενος, ἢ
μᾶλλον συγχαιρόμενος, ἐπὶ τῷ διασεσῶσθαί σε, μέχρι τοῦ παρόν-
τος, ἐκ τῶν μεγίστων κινδύνων. καὶ ὅπως συγγνώμην τῇ τόλμῃ
μου ἡ ἀγαθότης σου ἕξῃ, τοῦ κυρίου Ἰακώβου Παρκεθύμου Μηλσῆτα ἀν-
δρὸς καλοῦ μάλα καὶ σπουδαιοτάτου βουλὴ καὶ συζήτησις φιλικὴ,
ὁρμὴν ἐμοὶ συνεπέτεινε ταύτην. ἀφ' οὗ καὶ τοῦ Ἰακώβου, οὐδένα οἶ-
δα λόγον ἐχθρὸν τῆς ὑγιαινούσης διδασκαλίας τῇ καρδίᾳ ἐμοῦ πα-
ραδεξάμενος. ἀλλὰ μᾶλλον ἐχάρισα γαλήνην ἔχειν, τὴν ὑμῶν ἐν
τῇ ἑλλάδι ἐκκλησίαν ἀπὸ τῶν αἱρέσεων, καὶ τούτων μὲν, αἳ τὴν
ἀληθῆ, καὶ οὐσιώδη παρουσίαν τοῦ σώματος καὶ αἵματος τοῦ θε-
ανθρώπου χριστοῦ ἐν τῷ δείπνῳ κυριακῷ ἀπαρνέουσι, σύμβολον μόνον
ἢ ἀντίτυπον εἰπόντες. κελεύουσι δὲ ἡμᾶς ἄνω εἰς τοὺς οὐρανοὺς καρ-
δίας αἴρειν, ἐκεῖθεν, οὐ σὺν τῷ ἄρτῳ καὶ οἴνῳ ἅμα εὐλογημένῳ
χριστὸν ἀποδέξασθαι. καθὼς ἐν τῇ γερμανίᾳ τῆς ὑγιαινούσης πίστεως

ἀλλοτρίως ἔχοντας τινας, ὁ κύριος Ἰάκωβος ἀπαγγελεῖ ὑμῖν. αὐτῶν δὲ τὸ ἁμάρτημα οὐκ ἀνεκδίκητον ἀφήσει ὁ θεός.

Ἐν ταῦθα ληγόμενος, τὴν ἁγιότητά σου. ἐν τῇ πίστει πληροφορίαν, ἐν τῇ ἐξορίᾳ παραμυθίαν, ἐν τούτῳ τῷ βίῳ ἡσυχίαν καὶ ὑγίειαν· ἐν ἐκείνῳ μετέπειτα τῷ μέλλοντι, αἰώνιον ζωήν, δόξαν τε ἄφθαρτον ἀπὸ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εὔχομαι. ἐκ τῆς Φραγκοφορδίας ἢ τὶς τῶν Μαρχιόνων πόλις ἐστὶ πρὸς Οὐιάδρον ποταμόν, ἡμέρᾳ πέμπτῃ μηνὸς ἑκατομβαιῶνος ἢ Ἰουνίου, ἔτει τῆς ἐνσαρκώσεως τοῦ Χριστοῦ λόγου ἀϊδίου πατρός. α. φ ϖ η.

Χριστόφορος ὁ Πέλαργος φιλοσοφίας ἑλληνικῆς διδάσκαλος.

## *Patriarchæ Constantinopolitani responsum, postquam iam ab exilio redierat.*

### Ἱερεμίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐντιμότατε καὶ λογιώτατε κύριε Χριστόφορε Πελαργὲ, ἠὲ κατὰ πνεῦμα ἀγαπητὲ τῆς ἡμῶν μετριότητος, χάρις εἴη σοι, εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ. γινώσκειν ἐθέλω τὴν σὴν ἐλλογιμότητα, ὅτι τινες τῶν φίλων ἐνεχειρίσαντό μοι τὴν φίλην ἐπιστολὴν αὐτῆς, καὶ ἀνὰ χεῖρας λαβὼν ταύτην ἀνέγνων, καὶ ἰδὼν τεθαύμακά σου τὴν κεκρυμμένην ἄκραν διάθεσιν καὶ φιλίαν, ἣν ἔχεις πρός με. καὶ πῶς οὐκ ἔδει με τοῦτο δράσειν πρός σε τὸν μὴ εἰδέναι με τὸ παράπαν, τοσαύτην εὔνοιαν ἔχοντα πρὸς ἐμὲ, ἐκ μόνης φήμης ψιλῆς. κἀμοὶ δοκεῖ τὸ τῆς ἀγάπης φίλτρον λόγου παντὸς πεφυκέναι βέλτιον, παρὰ τῇ θείᾳ γραφῇ. καὶ λίαν εἰκότως. πλήρωμα γὰρ νόμου καθέστηκε, καὶ τῶν λοιπῶν ἀρετῶν ὑπέρκειται. καὶ ἐν οὐ μικρῷ τεκμηρίῳ πρόσκειται τὰς τῶν φιλοσόφων ψυχὰς πιμπλᾶσθαι γέμειν αὐτὴν φάσκομεν, οὐκ ἐν λεπτοῖς μόνοις ῥημάτων ἐμφυξέσεσιν, ἀλλ᾽ ἔργοις αὐτοῖς μαρτυρουμένην. ὥσπερ γὰρ ἡ μαγνίτης λίθος οὐκ ἐκ τῶν λιθογνώμων δεῖται τὰς ἀποδείξεις, ἀλλ᾽ οἴκοθεν τὴν ἐνέργειαν πρὸς τοὺς ὁρωμένους ἔχει ὑπὲρ ἀπόδειξιν, ὥστε θαυμάζεσθαι. τοιουτρόπως

τρόπως

ὑπολαμβάνω καὶ τὸ τῆς φιλίας καθαρὸν καὶ ἀκίβδηλον δεικνύειν κάλλος, διὰ τῶν κατορθωμάτων αὐτῶν ἐπὶ πᾶσι τῆς φιλοσοφίας τροφίμοις μαρτυρούμενον. ταύτην τοίνυν ἡ σὴ ἐλλογιμότης περιποιεῖται πολλὰ τῆς τῶν φιλοσόφων κατ᾽ ἴχνος ἑπομένη γνώσεως, καὶ τὸ τῆς ἐκείνων εὐπαιδείας ἀναλαμβάνουσα καύχημα. τοίνυν γνωστὸν σοι καὶ τοῦτο, ὅτι εἰ καὶ τὴν ἐλλογιμότητα ἄχρι τῆς δεῦρο ἠγνόουν, ἀλλ᾽ οὖν γε ἔγνων σε ἄρτι ἐκ τῆς ἐπιστολῆς σου. ἐπεὶ καὶ τοῦτο νόμος φιλίας καθέστηκε καὶ τοὺς μὴ ἐγνωσμένους ποτὲ φιλιοῦσθαι ἀλλήλους δι᾽ ἐπιστολῶν. μᾶλλον δὲ καὶ κρεῖττον δοκεῖ ἡ διὰ γραφῶν φιλίων γινομένη φιλία τῆς διὰ τῶν προσώπων παρουσίας διὰ τὸ τῆς ὑποψίας ἀνύποπτον κατὰ τοὺς τῆς φιλίας δεινούς. ἀπάρτι λοιπὸν μὴ κατόκνει πρὸς ἡμᾶς ἐπιστέλλειν, ἵνα καὶ τὸ τῆς φιλίας φίλτρον πλέον ἀνάψῃς, καὶ τὴν νεοστὴν γενομένην φιλίαν στηρίξῃς σαφέστερον. ἡ δὲ τοῦ θεοῦ χάρις, καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς σῆς ἐλλογιμότητος. ἐν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος τρίτης.

Τῷ ἐλλογιμωτάτῳ Χριστοφόρῳ τῷ Πελάργῳ καὶ διδασκάλῳ ἐν τῇ ἀκαδημίᾳ τῆς Φραγκοφορδίας τῷ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ τῆς ἡμῶν μετριότητος, δοθείη.

## *SEQVENTES AD MOSCOVIÆ REGEM ET P. IEREMIAM ECCLEsiæ magnæ Constantinopolitanæ literas, quibus hic reuocatur ad Patriarchatum, placuit subijcere, quòd, quanto desiderio Pastorem suum expectauerit, & qui fuerit status Ecclesiæ istius, prolixè docent.*

Ἐπιστολὴ ἣν ἔστειλαν οἱ ἀρχιερεῖς καὶ κληρικοὶ τῆς Κωνσταντίνου πόλεως πρὸς τὸν βασιλέα τῆς Μοσκοβίας.

Ἐκλαμπρότατε γαληνότατε, θεόστεπτε, καὶ θεοτίμητε βασιλεῦ πάσης γῆς Ῥουσίας καὶ Μοσκοβίας Καζανίου, Ἀστραχανίου, Νοβογραδίου καὶ τῶν ἑξῆς κύριε Θεόδωρε, σκέπη καὶ βοήθεια τοῦ χριστιανικοῦ παντὸς γένους καὶ στερίωμα καὶ καύχημα τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας τῆς Κωνσταντίνου πόλεως: δεόμεθα τοῦ παντοκράτορος θεοῦ, καὶ τῆς παναγνοῦ αὐτοῦ μητρὸς τῆς ἀεὶ παρθένου θεοτόκου, ἵνα εἴης πολυχρόνιος, ἄνοσος, καὶ νικητὴς πάντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. καλῶς γινώσκεις κράτιστε βασιλεῦ, ὅτι ἐξ ἀρχῆς ὁ πονηρὸς καὶ ἐχθρὸς καὶ πολέμιος τῆς σωτηρίας τῶν ἀνθρώπων διάβολος, ἔργον εἶχεν ἀκατάπαυστον προξενεῖν τὰ κακὰ, καὶ ἐπιβουλεύειν τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς, μάλιστα καὶ τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ. καὶ παρεκίνησε κατὰ τῆς ἐκκλησίας βασιλεῖς τυράννους καὶ αἱρετικοὺς, καὶ ἐποίησαν ἐναντία καὶ πονηρὰ κατ᾽ αὐτῆς, ὅσα ἡ ἐκείνων εἶχε προαίρεσις. ἀλλ᾽ ὁ θεὸς, ὡς προνοητὴς πάντων, ἔδωκεν εὐσεβεῖς βασιλεῖς, καὶ ἐδίωξεν τοὺς τυράννους καὶ τοὺς αἱρετικούς. ἔμεινε δὲ ἡ ἐκκλησία θεοῦ λαμπρὰ καὶ καθαρὰ, μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα κατὰ τὸν ἅγιον ἀπόστολον Παῦλον. τοιουτοτρόπως συνέβη καὶ εἰς τὸν καιρὸν ἡμῶν τοῦτον, καὶ ἐφθόνησεν ὁ διάβολος, καὶ παρεκίνησε τοὺς ἐργάτας αὐτοῦ, ὄργανα ὄντας πάσης κακίας καὶ πονηρίας· καὶ ἐπιβούλευσαν τὴν κεφαλὴν

φαλὴν

φαλὴν τῆς ἐκκλησίας ἡμῶν, δηλονότι τὸν μετὰ Χριστὸν πρῶτον ἀρχιερέα ἡμῶν τὸν παναγιώτατον ἡμῶν αὐθέντην καὶ δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην κύριον Ἱερεμίαν, καὶ ἐποίησαν εἰς αὐτὸν πάντα ὅσα καλῶς ἔμαθε καὶ ἡ βασιλεία σου, καὶ ἐτάραξαν τὴν ἐκκλησίαν ἡμῶν. καὶ εὑρίσκεται ἡ ἐκκλησία τώρα χρόνους ἓξ εἰς ἐκπειρασμοὺς, καὶ χρέη πολλὰ καὶ συγχύσεις καὶ σκάνδαλον μέγα διὰ τὴν στέρησιν τοῦ γνησίου τούτου ποιμένος καὶ πατριάρχου τοῦ κυρίου Ἱερεμίου. πάλιν δὲ ὁ θεὸς ὅτι οὐδὲν ἀφήκει τὸ κακὸν ἵνα νικήσῃ εἰς τέλος, ἐπαράβλεψε τὰ δάκρυα τοῦ λαοῦ τούτου τοῦ φιλοχρίστου, καὶ οὐδὲν ἀφήκεν αὐτοὺς ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· καὶ μάλιστα, ὡς πρόβατα ἐν μέσῳ λύκων ὑπάρχοντα. ἀλλ᾽ ἔνδυσεν εἰς τὴν καρδίαν τῆς βασιλείας σου, ὡς ἐμάθομεν, καὶ ἐβοήθησας εἰς τὴν ἀνάγκην ταύτην. καὶ εὐχαριστοῦμεν τῇ βασιλείᾳ σου, καὶ ποιοῦμεν λιτανείας καὶ ἱκεσίας καὶ δεήσεις πρὸς θεὸν νύκτας καὶ ἡμέρας ὑπὲρ αὐτῆς τῆς βασιλείας σου. διότι μέλομεν ἵνα λυτροθοῦμεν ἀπὸ τὰ πολλὰ βάρη καὶ χρέη, καὶ ἵνα καταστάθῃ πάλιν ἡ ἐκκλησία ἡμῶν, ὡς τὸ πρότερον, καὶ ἀναμέσον τούτου τοῦ καιροῦ. ἐδεήθηκαμεν ὁ λαὸς ὁ φιλόχριστος τῆς Κωνσταντίνου πόλεως τῶν ἔξω κρατούντων, καὶ ἔδωκαν ἡμῖν πάλιν μετ᾽ ἐξόδαις πολλαῖς ἄλλαις κατὰ τὴν τάξιν αὐτῶν τὸν γνήσιον ἡμῶν πατριάρχην, ἵνα ἔλθῃ ἵνα εὑρίσκεται εἰς τὸν θρόνον αὐτοῦ ἀνεκπειράστως, διὰ τοῦτο γράφομεν καὶ φανεροῦμεν πρὸς τὴν βασιλείαν σου, ποῦ ἀγάπας τὴν καλοσύνην τοῦ γένους ἡμῶν. καὶ δεόμεθα, ἐὰν εὑρίσκεται αὐτοῦ, ὁ αὐτὸς παναγιώτατος ἡμῶν πατριάρχης κύριος Ἱερεμίας, ἵνα τὸν βοηθήσῃς, καὶ ἵνα τὸν ἀποστείλῃς ἵνα ἔλθῃ τὸ γρηγορότερον εἰς τὸ ποίμνιον, καὶ εἰς τὸ πατριαρχεῖον Κωνσταντίνου πόλεως, ἵνα μὴ ᾖ ὁ λαὸς καὶ διαμένῃ ἔρημος καὶ πατριάρχου καὶ γνησίου ποιμένος, καὶ κινδυνεύῃ κίνδυνον ψυχικὸν διότι μάλιστα εἰς τοὺς τόπους τούτους, διὰ τὸν καιρὸν τοῦτον δέονται οἱ χριστιανοὶ ἀρχιερατικῆς ἐπισκέψεως καὶ ἐπιμελείας. μὴ ἐνατύχωμεν διὰ τὸν κύριον τὸν στέψαντά σε εἰς τὴν τοιαύτην ἀρχὴν, ὃς καὶ διαφυλάξῃ σε εἰρηνικὸν, ὑγιῆ πολυχρόνιον, νικητὴν, καὶ ἄξιον καὶ τῆς οὐρανῶν βασιλείας ἀμήν. ἀπὸ Κωνσταντίνου πόλεως αὐγούστου ε, ἰνδικτιῶνος β.

Ἐφέσου

Ἐφέσου μητροπολίτης σωφρόνιος καὶ εὐχέτης τῆς βασιλείας σου.

ὁ Νικομηδίας σισίνιος ὁ Νικαίας κύριλλος.

Θεσσαλονίκης μητροφάνης.

ὁ ναυπάκτης καὶ ἄρτης μητροφάνης.

Κυζίκου Ἀχίλλιος ὁ περὶ θεορίου καὶ ξάνθης φιλήμων.

ὁ προύσης νεόφυτος, ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας ἱερεὺς γεώργιος.

ὁ ἱέραξ ὁ μέγας λογοθέτης τῆς μεγάλης βασιλείας καὶ δοῦλος τῆς σῆς βασιλείας.

ὁ μέγας σακελλάριος τῆς μεγάλης ἐκκλησίας σεβαστιανός, καὶ δοῦλος.

ὁ μέγας σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας καὶ δοῦλος τῆς βασιλείας σου.

ὁ μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας καὶ δοῦλος τῆς βασιλείας σου.

ὁ μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας.

ὁ σακελλίου τῆς μεγάλης ἐκκλησίας.

ὁ δικαιοφύλαξ τῆς μεγάλης ἐκκλησίας.

ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας.

ὁ ῥήτωρ.

ὁ πρωταποστολάριος.

ὁ μέγας πρωτοπαπᾶς.

ὁ νομοφύλαξ.

ὁ καυστρίσιος.

ὁ ῥεφερενδάριος.

ὁ ἱερομνήμων.

ὁ πρωτοπαπᾶς.

ὁ ὑπομιμνήσκων.

ὁ ἐπὶ τῶν γονάτων.

ὁ ἐπὶ τῶν δεήσεων.

ὁ ἐπὶ τῶν σεκρέτων.

ὁ ὑπομνήματα γράφων.

ὁ πρωτοκανονάρχων.

ὁ πριμμικύριος καὶ οἱ λοιποὶ ἱερεῖς καὶ ἄρχοντες τῆς Κωνσταντίνου πόλεως καὶ τοῦ γαλατᾶ.





## Τῶν κληρικῶν καὶ ἀρχόντων τῆς αὐτοῦ Κωνσταντίνου πόλεως, πρὸς τὸν παναγιώτατον πατριάρχην τὸν οἰκουμενικὸν κύριον Ἱερεμίαν.

ΠΑναγιώτατε ἡμῶν αὐθέντα καὶ δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα, θειότατε, θεοχαρίστατε, θεοπρόβλητε, καὶ πᾶν εἴ τι ἄλλο ὑψηλὸν καὶ πρᾶγμα καὶ ὄνομα, δουλικῶς προσκυνοῦμεν τὴν σὴν παναγιότητα, καὶ ἀσπαζόμεθα, καταφιλοῦντες νοερῶς τὰς ἁγίας σου χεῖρας καὶ πόδας, καὶ δεόμενοι τοῦ παντοκράτορος θεοῦ, καὶ τῆς αὐτοῦ ἁγίας μητρὸς τῆς ἀειπαρθένου μαρίας τῆς παμμακαρίστου ἵνα ὑγιαίνῃ ἡ παναγιοσύνη σου εἰς καταρτισμὸν καὶ ὠφέλειαν παντὸς τοῦ χριστωνύμου πληρώματος. καὶ ἴδωμεν καὶ ἀπολαύσωμέν σε πάντες εἰς τὸν πατριαρχικὸν σοῦ θρόνον, ἀρχιερεῖς τε καὶ κληρικοί, ἱερεῖς τε καὶ ἄρχοντες, πλούσιοι καὶ πένητες, νέοι καὶ γέροντες καὶ ὁ λοιπὸς λαός. ὡς ἐκ μέσης ψυχῆς ἀγαπῶμεν καὶ χορῶμεν καὶ εὐφρανθῶμεν, ὡς ἰδὼν ἐχάρη Ἀβραὰμ τὴν ἡμέραν τοῦ κυρίου αὐτοῦ, αἰσθητῶς σε ὑποδεχόμενοι καὶ ὁρῶντες καὶ ἀσπαζόμενοι. γινώσκειν θέλομέν σε παναγιώτατε δέσποτα ὅτι νεύσει θεοῦ καὶ προνοίᾳ, ὑπηρεσίᾳ τε καὶ συνδρομῇ τοῦ λογιωτάτου μεγάλου ἀρχιμανδρίτου τῆς τοῦ χριστοῦ μεγάλης ἐκκλησίας, καὶ ἄλλων οὐκ ὀλίγων φιλοχρίστων συνεπέρασεν ἀληθῶς καὶ ἀναμφιβόλως τὸ κατάγειν τοὺς ἔξω περὶ τῆς εἰς τὸν θρόνον ἀποκαταστάσεως τῆς σῆς παναγιότητος, ἡμῶν πάντων ποθεινὸν αἴτημα καὶ ἀξίωμα. ὅπως δὲ τοῦτο παρηκολούθησε, λέγωμεν φιλαλήθως. τῶν πραγμάτων τῆς τοῦ χριστοῦ μεγάλης ἐκκλησίας φερομένων, ὡς καὶ αὐτὰ καλῶς ἐπίστασαι ὁ τὸν παρόντα καιρὸν εὑρισκόμενος τῆς βασιλείας μέγας ἐπίτροπος ὀνόματι Σινὰν Πασίας ὁ καλούμενος. καὶ καταμαθὼν λεπτομερῶς παρὰ τῶν ῥηθέντων τάτε ἄλλα πάντα τὰ τῇ ἐκκλησίᾳ συμβάντα καὶ ὅτι ὁ καθόλου σκοπὸς καὶ ἡ δόσις τοῦ τότε δοθέντος πετηκεσίου διὰ τὸ σὸν ὄνομα ὑπῆρχε, τρόπῳ δὲ ἑτέρους μεσιτεύτας τῷ πράγματι συνεπόδησεν, † ἀρζίον ἐποίησε τῷ βασιλεῖ, περὶ τούτου, καὶ ὁ βασιλεὺς ἀπεφήνατο, καὶ ἔδωκέ σοι ὀνομαστὶ τὴν ἐξουσίαν τῆς πατριαρχικῆς διοικήσεως, ὡς τοῦτο μαθεῖν ἔχεις, καὶ διὰ τοῦ ἰδίου σοι

† Voc. Turcicum.

Πασίας Capitaneus.

(πεσκέσιον vocant lingua Turcica: νεά γλώττῃ κανίσκιον Itali ca presente,

*quod Ecclesia quotannis Turcico Imperatori offert, nempe 4000 flor. aureos.*

πεμπομένου βασιλικοῦ ὁρισμοῦ. ὅπερ δὴ ταῦτα ἰδόντες καὶ πληρωθέντες ἡμεῖς τε οἱ τοῦτο ζητήσαντες, καὶ ἐκ πολλοῦ ἀγαπήσαντες. καὶ πᾶς ἄλλως τῆς πατριαρχίας κακῶς ζητῶν καὶ ὑποπτευόμενος, κοινῇ πάντες γεγόναμεν, χαρᾶς πλήρεις, τῆς μέχρι τοῦ νῦν ἐπικρατούσης ἀμφιβολίας διαλυθείσης. καὶ τοῦ λογιωτάτου πρωτοσυγγέλου κυρίου νικηφόρου πεπαυμένου τῆς ἀρχῆς ταύτης. διὰ βασιλικοῦ προστάγματος. ὧν οὕτω πραχθέντων φανερῶς καὶ ἀναμφιβόλως, ἐπειδὴ νεύσει θεοῦ τῇ σῇ παναγιότητι ἐπεδόθη, καθὼς προείρηται, ἡ πᾶσα διοίκησις τοῦ πατριαρχείου κωνσταντινουπόλεως, καὶ παρὰ τοῦ ἐν αὐτῇ βασιλέως. ὡς ἔχεις ταύτην παρὰ θεοῦ, καὶ ὁ περιμένει ἡ ἐκκλησία χριστοῦ σε τὸν ποιμένα αὐτῆς, καὶ προστάτην τὸν καθολικὸν καὶ γνήσιον, οὐδὲν τῶν ἀνηκόντων τῇ σῇ πατριαρχικῇ ἐξουσίᾳ πραττόμενον ἢ ἐνεργούμενον ἔχουσα ἐν αὐτῇ ἄχρις οὗ ἂν εὐτυχῶς ἐπανέλθῃς. γράφομεν καὶ ἐκλιπαροῦμέν σε παναγιώτατε δέσποτα, ἵνα πᾶσαν πρόφασιν ἀμφιβολίας ἀποῤῥίψῃς, ἐπεὶ οὐδέν ἐστι, σὺν θεῷ, τῶν πραγμάτων, καὶ λαβὼν οἶκτον τῆς ἡμετέρας θλίψεως καὶ στερήσεως τὴν ταχίστην ἔλθῃς πρὸς ἡμᾶς χριστοειδῶς τε καὶ πατρικῶς τοσὸν ἐπισκεψόμενος ποίμνιον. τούτου γὰρ καὶ ἡμεῖς ἐφιέμενοι, διετελέσαμεν τὸν τοσοῦτον χρόνον κοπιῶντες καὶ ἀγωνιζόμενοι φέροντές τε πάντα δυσχερῆ, καὶ προσδοκῶντες τὴν εἰς τὸν πατριαρχικόν σου θρόνον ἀποκατάστασιν, συμπασχούσης καὶ συναλγούσης ἡμῖν ὡς εἰκὸς τῆς σῆς παναγιότητος καὶ τὰ αὐτὰ πασχούσης ἅπερ ἡμεῖς, διὰ τὸν ἀπ' ἀλλήλων χωρισμόν. μὴ οὖν μὴ ἱκῶν;ὁ μὴ γένοιτο, μακρύνων τὸν καιρὸν τῆς πρὸς ἡμᾶς εὐκταιοτάτης καὶ ἀναγκαιοτάτης σου ἐπιδημίας. καὶ ταῦτα οὐδενὸς τοῦ κωλύοντος ὄντος λυπῇς ἅμα καὶ ζημιοῖς ἡμᾶς ἀποστερῶν δικαίας ταύτης καὶ κοινῆς συμφερούσης ἡμῖν τε τυχεῖν, καὶ σοὶ ὀφειλομένης ἀποδοῦναι. αἱ δὲ πανάγιαι καὶ θεοπειθεῖς εὐχαί σου εἴησαν φυλακτήριον ἐν παντὶ βίῳ. ἀμήν.

ἐγράφη κατὰ μῆνα αὐγούστου ε. ἰνδ. β. ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας γεώργιος ἱερεύς.

ὁ ἱέραξ ὁ μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας, καὶ δοῦλος τῆς σῆς παναγιότητος καὶ οἱ λοιποὶ κληρικοί, ὡς καὶ τὸ πρότερον γράμμα ἔχει.

Epistola

# EPISTOLA VOIVONDÆ & Domini Moldo Vualachias ad Patriarchã Ieremiam, qua, ut redeat ad Patriarchatum, maximoperè orat.

ΠΑναγιώτατε ἡμῶν αὐθέντα καὶ δέσποτα, καὶ οἰκουμενικὲ πατριάρχης, κύριε ἱερεμία ἐδαφιαίας προσκυνήσεις ἀπονέμω τῇ μεγίστῃ σου ἀρχιερωσύνῃ. ἐπεὶ ἀνερωτᾷς καὶ περὶ ἡμῶν, θεοῦ εὐδοκοῦντος, καὶ διὰ γὰρ σῶν ἁγίων εὐχῶν καλῶς καὶ ὑγιῶς ἔρχομαι ἕως ἄρτι. ἰδὲ, διὰ τὰ ναυάγια καὶ τὰ κίνδυνα, ἅπερ ἔχομεν καθ' ἑκάστην, οὐ δύναμαι ἀναγράφειν. ἀλλ' ἐλπίζω εἰς θεὸν καὶ ὀφθαλμοφανῶς ἰδεῖν σε, καὶ στόμα μετὰ στόματος λαλῆσαι. πλὴν τὸ λοιπὸν, γνωστὸν ἔστω τῇ σῇ παναγιότητι, ὅτι σεπτεμβρίου εἰς τὰς δέκα, ἐλήλυθεν ἐνταῦθα ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης πρὸς ἡμᾶς καὶ ἐντζαούσης καὶ ἐνεκόμισεν ἡμῖν ὁρισμὸν τοῦ βασιλέως τοῦ τῆς κωνσταντίνου πόλεως, καὶ γράμμα τοῦ Σινᾶ παρία. τὰ ὁποῖα ἐδιαλάβαμαν οὕτως εἰς τὴν πρώτην ἡμέραν τοῦ ῥαμαζανίου (οὕτως καλεῖται τὸ πασχάλιον αὐτῶν.) τῶν τούρκων θεοῦ θέλημα ἔδωκε σοὶ πάλιν ὁ βασιλεὺς τὸν τίμιον θρόνον τοῦ ἁγίου πατριαρχείου τῆς κωνσταντίνου πόλεως ἵνα τὸν κρατῇς καὶ ἵνα τὸν ἐξουσιάζῃς. καὶ ἕνεκεν τούτου ὁ διδάσκαλος ὁ κυρνικηφόρος (κύριος νικ) καὶ πάντες οἱ κληρικοί, καὶ ὅλοι ἄρχοντες τῆς κωνσταντίνου πόλεως καὶ τοῦ γαλατᾶ καὶ ὅλον τὸ πλῆθος τῶν χριστιανῶν δέονται καὶ ἀντιβολοῦνται τὴν σὴν παναγιότητα, ἵνα ἔλθῃς ταχέως εἰς τὸν τίμιόν σου θρόνον, ὅτι οὕτως ἠκούσαμεν πῶς ἐλήλυθας ἐν τῇ ζαμόσκια πόλει τῆς λεχίας ἤγουν τοῦ κάστρου τοῦ τετιμημένου Αρχουκαντζηλιέρη. οὕτω καὶ ἐγὼ δέομαι καὶ ἀντιβολῶ, τὴν σὴν μεγίστην ἀρχιερωσύνην, ἵνα κοπιάσῃς ἵνα ἔλθῃς, καὶ τὸ μὲν πρῶτον θέλῃς ἀπολάβειν ἕνα μεγάλο ψυχικὸν μνημόσυνον ὅπου θέλεις ἀναστήσειν καὶ ἀνακαινίσειν, τὴν ἐκκλησίαν τοῦ χριστοῦ. δεύτερον καὶ θέλεις συστῆσαι ὅλον τὸ γένος τῶν χριστιανῶν, καὶ θέλεις ἔχειν τὸν ἔπαινον πάντοτε. καὶ διὰ πλέον βεβαιότερον τὸν ὁρισμὸν τοῦ βασιλέως καὶ τὸ γράμ-



ματος

μα τῷ Σινᾶμπασία ἃ στέλλω πρὸς τὴν παναγιότητα σου καὶ θέλῃς καταλαβεῖν ὅλα τὰ γινόμενα. καὶ μὴ οὐ γένοιτο ἄλλως καὶ ἀποτύχωμεν τῆς αἰτήσεως. παρεῦ ἀφόβως καὶ ἀναγνοιέσως κατὰ πᾶσαν ἀνάγκην, ἵνα ὁρίσῃς να ἔλθῃς. καὶ θέλει γένεσθαι, εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ εἰς ὅλον τὸ γένος τῶν χριστιανῶν πολλὴ καὶ καλὴ ὠφέλεια καὶ εἰρήνη. εἰ δὲ πάλιν οὐκ ἔλθῃς, θέλει γενέσθαι τὸ ἐναντίον, ὅτι θέλει γενέσθαι μεγάλη ζημία καὶ μεγάλη ἀκαταστασία εἰς τὸ γένος τῶν χριστιανῶν. καὶ οὐχὶ μόνον, ὅπου θέλει χαλάσειν τὸ πατριαρχεῖον, ἀλλὰ καὶ ὅλαι αἱ ἐκκλησίαι πανταχοῦ θέλονται χαλάσειν, καὶ θέλει ἔσεσθαι ἁμαρτία μεγάλη. καὶ ἐὰν καὶ διστάζῃς καὶ δειλιᾷς διὰ τὸ βάρος τοῦ χρέως μὴ φροντίζῃς περὶ τούτου, ὅτι καὶ ἡμεῖς χρεωσταὶ ὑπάρχομεν, καὶ ἕτεροι πολλοί. καὶ μέγα ἐστὶ τὸ ἔλεος τοῦ θεοῦ, ὅπου οἰκονομεῖ πάντοτε. καὶ ὅταν προσβυθῇς καὶ καθίσῃς εἰς τὸν ἴδιον σου θρόνον, καὶ ἰδοῦσι σε οἱ χριστιάνοι ὀφθαλμοφανῶς μετὰ πάσης χαρᾶς, ἅπαξ ἅπαντες καὶ μικροὶ καὶ θρανοί, θέλονται βοηθήσειν. καὶ ἐλπίζομαι εἰς θεὸν †, δὲν θέλῃς εὕρει ξενοχωρίαν τὸ ὁποῖον στέλλει σοι καὶ ὁρισθεὶς μητροπολίτης μίαν τὴν γραφὴν καὶ ἐξ αὐτῆς θέλεις καταλαβεῖν τὰ πάντα, πλεὸν καλλιώτερα. ὁ ὁποῖος καθίζεται ἐνταῦθα ὁμοῦ καὶ ὁ τζαοῦσης, καὶ ἀναμένωσι τὴν σὴν παναγιότητα. οὐχὶ ἕτερον. αἱ δὲ ἅγιαι σου εὐχαὶ εἴησαν μεθ' ἡμῶν ἐν βίῳ παντί.

† τουτέστι ὅτι μὴ θέλῃς ἔχαμ)

γέγραπται ἐν πόλει Ἁγιάσῃ τῆς Μολδοβίας ἐν ἔτει ᾳ. φ. π. θ.
κατὰ μῆνα σεπτεμβρίου κ.ε. Ἰωάννης Πέτρος
βοηβόνδας καὶ αὐθέντης πάσης
Μολδοβλαχίας.

SIGIS=

# SIGISMVNDI REGIS Poloniæ, &c. ἐξουσία concessa Patriarchæ Ieremiæ.

Τρίτος Σιγισμοῦνδος ἐλέῳ θεοῦ βασιλεὺς Λεχίας καὶ μέγας Δοὺξ
Λιτφανίας, Ῥουσίας, Προυσίας, Μασουίας, Σαμνητίας ἢ Φλανίας
καὶ τῆς βασιλείας Σφετῶν πλησιότερος κληρονόμος
καὶ μέλλων μέγας βασιλεύς, καὶ
τῶν ἑξῆς.

Ἐξουσία καὶ ὁρισμὸς ὃν ἔδωκε ὁ βασιλεὺς τῆς Λεχίας τῷ παναγιοτάτῳ, οἰκουμενικῷ πατριάρχῃ τῷ τῆς Κωνσταντινουπόλεως κυρίῳ Ἱερεμίᾳ.

Ἄρχοντες καὶ αὐθένται καὶ ἡγεμόνες ἀκροπολιάρχοι τε, καὶ δήμαρχοι καὶ στρατηγοί, καὶ τοποκράτορες ἀρχόντισσαι καὶ χῆραι, ὀφικιάλοιτε τῷ τόπου καὶ δοῦλοι τοπάρχων, καὶ ἡμῶν πᾶν στράτος, τύραννοι τε καὶ κάτοικοι τῆς ἡμῶν αὐθεντίας τῆς μεγάλης ἡγεμονίας Λιτφανῶν καὶ τῶν ὑπ' αὐτῆς κειμένων τόπων ὁμοίως δὲ καὶ οἱ σύμβουλοι καὶ ὕπατοι καὶ δικασταὶ τῶν ἐμῶν πόλεων, καὶ ἀρχόντων καὶ αὐθέντων καὶ τοπάρχων πνευματικῶν, καὶ κοσμικῶν, καὶ πάντων ὧν δεῖ εἰδέναι τοῦτο. δῆλον ποιοῦμεν ὑμῖν, ὅτι ὁ παναγιώτατος Ἱερεμίας ὁ πατριάρχης τῆς Κωνσταντίνου πόλεως παραγενόμενος ἐκ τῆς καθέδρας αὐτοῦ μέχρι δεῦρο, διανοηκῶς, εἰς τὰ μέρη ταῦτα τῆς ἡμῶν αὐθεντίας, βουλόμενος τὰς ἐκκλησίας τὰς ὑπὸ τὸν νόμον τῶν γραικῶν, καὶ τοὺς διακόνους αὐτῶν, τουτέστιν, ἀρχιεπισκόπους, ἐπισκόπους, μητροπολίτας, ἀρχιμανδρίτας, ἡγουμένους, ἱερεῖς καὶ διακόνους, καὶ τοὺς ἑξῆς ὑπηρέτας τῶν ἐκκλησιῶν τῶν ὑπὸ τῆς ἐξουσίας τῆς παναγιότητος αὐτοῦ κατὰ χρέος αὐτοῦ ἐπισκέψαι, καὶ τὰ πνευματικὰ ἐπανορθῶσαι. ἵνα δὲ πᾶσαν τάξιν καὶ ἐκκλησιαστικὴν κατὰ τὴν πίστιν τῶν χριστιανῶν, τὴν πειθαρχίαν τῶν γραικῶν, καὶ τοὺς νόμους τῶν ἁγίων πατέρων σώους φυλάττῃ καὶ ἐπιτελῇ αὐτούς, ὅθεν ἐδεήθη ἡμᾶς τὸν κύριον καὶ βασιλέα, ἵνα τῇ παναγιότητι αὐτοῦ, εἰς τὰς αὐθεντίας ἡμῶν δώσω θέλημα.

θέλημα. ἐγὼ δὲ ὢν κορυφαῖος διοικητὴς τῶν ἐκκλησιῶν, καὶ ναῶν τοῦ θεοῦ, καὶ πολίτευμα πάσης τάξεως ἐκκλησιαστικῆς τῶν χριστιανῶν θεασάμενός τε ταύτας τὰς δεήσεις τοῦ παναγιωτάτου πατριάρχου εἶναι ἀξίας, συγγνώμῃ δὲ τῶν καθυρηθέντων συγκλήτων τῶν τε πλησίον ἡμῶν, ἔδωκα αὐτῷ θέλημα κατὰ τὴν τάξιν τῆς πίστεως τῶν γραικῶν πάσας τὰς πράξεις τὰς πνευματικὰς τῆς ἐκκλησίας αἳ ἐκ πολλῶν χρόνων κείμεναι εἰσὶν ἐν τῇ αὐθεντίᾳ ἡμῶν τῇ παναγιότητι αὐτοῦ διορθοῦν καὶ ἐπιτελεῖν καὶ πάντας τοὺς πνευματικοὺς τῆς πίστεως τῶν γραικῶν ἀπὸ πρεσβυτέρων ἕως νεωτέρων ἐξουσιάζειν αὐτούς, κρίνειν, διορθοῦν, ἕκαστον δὲ παράνομον κατὰ τὴν πνευματικὴν τάξιν, καὶ τοὺς κανόνας τῶν ἁγίων πατέρων παιδεύειν. τούτου χάριν ἕκαστος ὁ ἐν τῇ τάξει πνευματικῆς καὶ κοσμικῆς ὑπὸ τῆς αὐθεντίας ἡμῶν τῇ μεγάλῃ ἡγεμονίᾳ τῶν Λιτφάνων, καὶ εἰς πάντα τὰ μέρη τῶν ῥουσῶν τῆς ἡμῶν αὐθεντίας, ἀκροασάμενος, ὁμοίως καὶ εἰς τὰς πόλεις καὶ εἰς τὰς χώρας καὶ κώμας ἡμῶν καὶ ἀρχόντων καὶ αὐθεντῶν καὶ τοπάρχων καὶ πνευματικῶν καὶ λαϊκῶν, εἰδότες περὶ τούτου βοηθεῖτε, καὶ μηδεὶς ἐναντίως φανῇ τῇ παναγιότητι αὐτοῦ οὐδεμίαν δὲ σύγχυσιν τολμῶν τις ποιήσῃ τῇ δεδομένῃ ἐξουσίᾳ τοῦ πατριάρχου, ἵνα μὴ ἀποτύχῃ τῆς ἐμῆς εὐνοίας τῆς βασιλικῆς, εἰ δέ τις φανείη ἐναντίος τῷ ἐμοῦ προστάγματι, τοιοῦτος ζημιωθήσεται. ἵνα δὲ πάντες εἴδητε ὅτι τοῦτο βουλόμεθα τῆς ἡμετέρας αὐθεντίας ἄρχοντες, ἡγεμόνες καὶ στρατηγοὶ καὶ τοποκράτορες ἡμῶν ἢ οἱ ἐπίτροποι ἡμῶν παραγγέλλομεν ὑμῖν, ἵνα καὶ ταύτην ἐπιστολὴν πανταχοῦ, ὅπου δεῖ κηρύττειν αὐτὴν καὶ ἀντιγραφὴν, καὶ ἐπὶ τὰς ἀγορὰς καὶ ἐκκλησίας καὶ ναοὺς τιθῆτε, προστάσσομεν τελείως. γέγραπται ἐν τῇ πόλει Βίλνᾳ ἐν ἔτει τοῦ ἐνανθρώπου σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, α, φ. π θ'. μηνὶ Ἰουλίῳ 15.

BIBL. UNIV. WROCŁAW

Σιγισμοῦνδος βασιλεὺς Λεχίας, Ῥουσίας καὶ τῶν ἑξῆς. Συστατικὴ ἐπιστολὴ ἣν ἔδωκεν ὁ βασιλεὺς Λεχῶν τῷ παναγιωτάτῳ κυρίῳ Ἱερεμίᾳ τῷ οἰκουμενικῷ πατριάρχῃ τῆς Κωνσταντίνου πόλεως, νέας ῥώμης ἣν μετήνεγκε ἐκ τῆς ῥουσῶν φωνῆς εἰς τὴν ἑλληνίδα διάλεκτον Γεώρ-

τον Γεώργιος Παλαμίδα, δι' ἐπιμελείας ἐμοῦ Ἰακώβου τοῦ Παρκεβούμου, ὄντος μου ἐν ἐκείνῳ τῷ καιρῷ πλησίον αὐτοῦ τῷ παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ ἀρχιεπισκόπῳ Κωνσταντίνου πόλεως νέας ῥώμης καὶ οἰκουμενικῷ πατριάρχῃ κυρίω μου Ἱερεμίᾳ.

BIBL. UNIV. WROCŁAW

ΤΕΛΟΣ.

BIBL. WROCŁAW











